Alius, quod disiunctum est, coniungendo dicere, aut quod coniunctum est, disiungendo. Quoniam enim idem videtur esse, cùm minimè sit idem sæpe, vtrum vtilius sit, id oportet facere. Atque hoc Euthydemi oratio est, vt scire triremem in Piræeo esse: quia vnumquodque nouit. Et elementa scientem carmen cognoscere: quia carmen hoc ipsum est. Et quia bis tantũ morbosum est: neque vnum affirmare salubre esse. absurdum enim est, vt duo bona vnum malum sit. Sic igitur valet ad refutandum, ita verò ad demonstrandum. Non enim est vnum bonum, duo mala. Ac totus locus captiosus est. Rursus illud Polycratis in Thrasybulum, quòd triginta Tyrannos sustulit: coniungit enim. Aut illud in Oreste Theodectis: ex distinctione enim est. Iustum est, si quæ interficiat maritum, mori eam. Et filium patrem vlcisci. Atqui hæc etiam gesta sunt. Nam si quis coniunxerit, fortasse non æquum. Erit verò etiam à defectione, quoniam tollitur, à quo. Alius locus est, exaggeratione confirmare, aut infirmare. Hoc verò est, cùm qui non demonstrauerit aliquem fecisse, amplificauerit rem. efficit enim, vt non appareat, aut non fecisse. quando caussam dicens amplificauerit: aut fecisse, quando accusans, irascatur. Non tamen est enthymema: decipitur enim auditor, quòd fecerit, aut non fecerit id, quod demonstratum non est. Alius ex signo. Neque enim sub syllogismum hoc cadit. Vt si quis diceret, Ciuitatibus prosunt amatores. Nam Harmodij, & Aristogitonis amor euertit Tyrannum Hipparchum. Aut si quis diceret, furem Dionysium esse, quia improbus. sub syllogismum enim neque hoc cadit, non enim omnis improbus est fur, sed fur omnis improbus. Alius propter id, quod accidit, vt quod dicit Polycrates in mures, quia opem tulissent, corrodentes neruos. Aut si quis dicat, Ad cœnam vocari, honorificentissimũ. Nam quia non vocatus fuit Achilles, succensuit Achiuis in Tenedo. At, quia non æstimatus fuerat, succensuit. Accidit autem hoc ex eo, quia non vocatus fuit. Alius à consequenti, vt in Alexandro, magnanimum fuisse eum, quia contemnens multitudinis consuetudinẽ, in Ida versatus est secũ. Magnanimi.n. eiusmodi sunt, & iste magnanimus videri potest. Et quoniam se comit, & noctu vagatur, adulterũ eum esse, quia & adulteri eiusmodi sunt.

A ἄλλος, τὸ διῃρημένον συντιθέντα λέγειν, ἢ τὸ συγκείμενον διαιροῦντα. ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ εἶναι οὐκ ὂν ταὐτὸν πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν. ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος· οἷον τὸ εἰδέναι, ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν· ἕκαστον γὰρ οἶδε· καὶ τὸν τὰ στοιχεῖα ἐπιστάμενον, ὅτι τὸ ἔπος οἶδε· τὸ γὰρ ἔπος τὸ αὐτό ἐστι. καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσώ- B δες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι. ἄτοπον γὰρ, εἰ τὰ δύο ἀγαθὰ, ἓν κακόν ἐστιν. οὕτω μὲν οὖν ἐλεγκτικόν· ὧδε δὲ δεικτικόν ἐστιν· οὐ γάρ ἐστιν ἓν ἀγαθὸν, δύο κακά. ὅλος δὲ ὁ τόπος παραλογιστικός. πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε· συντίθησι γάρ. ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστι.

C δίκαιόν ἐστιν εἴ τις ἂν κτείνῃ πόσιν, ἀποθνήσκειν ταύτην· καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν· οὐκοῦν καὶ ταῦτα πέπρακται· συντεθέντα γὰρ ἴσως, οὐκέτι δίκαιον. εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν· ἀφαιρεῖται γὰρ τὸ ὑπό τινος. ἄλλος δὲ τόπος, τὸ δεινώσει κατασκευάζειν, ἢ ἀνασκευάζειν. τοῦτο δ' ἐστὶν, ὅταν μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα· ποιεῖ γὰρ φαίνεσθαι ἢ ὡς οὔτε πεποίηκεν, ὅταν ὁ τὴν αἰ- D τίαν ἔχων, αὔξῃ· ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατήγορος ὀργίζηται. οὐκοῦν ἐστὶν ἐνθύμημα· παραλογίζεται γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν, ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου. ἄλλος, τὸ ἐκ σημείου· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο· οἷον εἴ τις λέγοι, ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον· καὶ εἴ τις λέγοι, ὅτι κλέ- E πτης Διονύσιος· πονηρὸς γάρ· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο· οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός. ἄλλος, διὰ τὸ συμβεβηκός. οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς. ἢ εἴ τις φαίη, τὸ ἐπὶ δεῖπνον κληθῆναι, τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμε- F νος ἐμήνισε. συνέβη δὲ τοῦτο ἐπὶ τοῦ μὴ κληθῆναι. ἄλλος, τὸ παρὰ τὸ ἑπόμενον· οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος· ὑπεριδὼν γὰρ τὴν τῶν πολλῶν ὁμιλίαν, ἐν τῇ Ἴδῃ διέτριβε καθ' αὑτόν· ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι, καὶ οὗτος μεγαλόψυχος δόξειεν ἄν. καὶ ἐπεὶ καλλωπιστὴς, καὶ νύκτωρ πλανᾶται, μοιχὸς, ὅτι καὶ οἱ μοιχοὶ τοιοῦτοι.

ὅμοιον